καὶ τότ' οὐ δικαίοις [ἀντ. θ.
Ζεὺς ἐνέξεται ψόγοις,
τὸν τᾶς βοὸς
παῖδ' ἀτιμάσας, τὸν αὐ-
τός ποτ' ἔκτισεν γόνῳ,
νῦν ἔχων παλίντροπον
ὄψιν ἐν λιταῖσιν;
ὑψόθεν δ' εὖ κλύοι καλούμενος.

⟨ἆ Ζήν, Ἰοῦς· ἰὼ μῆνις [ἐφυμν. γ.
μάστειρ' ἐκ θεῶν·
κοννῶ δ' ἄταν
γαμετᾶν οὐρανονίκων.
χαλεποῦ γὰρ ἐκ
πνεύματος εἶσι χειμών.⟩

ΔΑΝΑΟΣ

παῖδες, φρονεῖν χρή· ξὺν φρονοῦντι δ' ἥκετε
πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρί.
καὶ τἀπὶ χέρσου νῦν προμηθίαν λαβεῖν
αἰνῶ φυλάξαι θ' ἅμ' ἔπη δελτουμένας.
ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ·
σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι·
ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον
λεύσσω, ξὺν ἵπποις καμπύλοις τ' ὀχήμασιν·
τάχ' ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται
ὀπτῆρες εἶεν ἀγγέλων πεπυσμένοι.
ἀλλ' εἴτ' ἀπήμων εἴτε καὶ τεθηγμένος
ὠμῇ ξὺν ὀργῇ τῶνδ' ἐπόρνυται στόλος,